§ 76. Ἐπεὶ δὲ θεολογίας ἐμνήσθην, καὶ τῆς περὶ τοῦτο τοῦ ἀνδρὸς μάλιστα μεγαλοφωνίας, ἔτι κἀκεῖνο προσθήσω τοῖς εἰρημένοις. Χρησιμώτατον γὰρ τοῖς πολλοῖς τοῦ μὴ βλάπτεσθαι τὴν χείρω περὶ αὐτοῦ[2] δόξαν ἔχοντας· πρὸς δὲ τοὺς κακούργους ὁ λόγος, οἳ τοῖς ἑαυτῶν[3] κακοῖς βοηθοῦσιν, ἐξ ὧν ἄλλοις ἐπηρεάζουσιν. Ἐκεῖνος γὰρ ἕνεκα τοῦ ὀρθοῦ λόγου καὶ τῆς κατὰ τὴν ἁγίαν Τριάδα συναφείας καὶ συνθείας,[4] ἢ οὐκ οἶδ᾿ ὅ,τι κυριώτερον χρὴ εἰπεῖν καὶ σαφέστερον, μὴ ὅτι θρόνων ἐκπεσεῖν, οἷς οὐδὲ ἀπ᾿ ἀρχῆς ἐπεπήδησεν, ἀλλὰ καὶ φυγήν, καὶ θάνατον, καὶ τὰς πρὸ τοῦ θανάτου κολάσεις προθύμως ἐδέξατο ἄν, ὡς κέρδος, οὐ κίνδυνον. Δηλοῖ δέ, οἷς τε ἤδη πεποίηκεν, οἷς τε πέπονθεν· ὅς γε καὶ ἐξορίαν ὑπὲρ τῆς ἀληθείας κατακριθείς, τοσοῦτον ἐπραγματεύσατο μόνον, ὅσον ἑνὶ τῶν ἀκολούθων εἰπεῖν, ἀραμένῳ τὸ πυκτίον[5] ἀκολουθεῖν. Οἰκονομεῖν δὲ τοὺς λόγους ἐν κρίσει, τῶν ἀναγκαίων ἐνόμιζε, τῷ θείῳ Δαβὶδ[6] περὶ τούτου συμβούλῳ χρώμενος, καὶ μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρειν, καὶ τὴν τῶν αἱρετικῶν δυναστείαν, ἕως ὁ τῆς ἐλευθερίας ἐπιλάβοι καιρός· καὶ δῷ τῇ γλώττῃ τὴν παῤῥησίαν. Οἱ μὲν[7] ἐζήτουν λαβέσθαι γυμνῆς τῆς περὶ τοῦ Πνεύματος φωνῆς, ὡς εἴη Θεός, ὅπερ ὂν ἀληθές, ἀσεβὲς ἐκείνοις ὑπελαμβάνετο, καὶ τῷ κακῷ προστάτῃ[8] τῆς ἀσεβείας. Ἵνα τὸν μὲν[9] τῆς πόλεως μετὰ τῆς θεολόγου γλώσσης ὑπερορίσωσιν, αὐτοὶ δὲ κατασχόντες τὴν Ἐκκλησίαν, καὶ τῆς ἑαυτῶν κακίας ὁρμητήριον ποιησάμενοι, ἐντεῦθεν τὸ λειπόμενον ἅπαν, ὡς ἔκ τινος ἀκροπόλεως καταδράμωσιν. Ὁ δέ,[10] ἐν ἄλλαις μὲν φωναῖς γραφικαῖς, καὶ μαρτυρίαις ἀνεμφιλέκτοις ταὐτὸν δυναμέναις, καὶ ταῖς τῶν συλλογισμῶν ἀνάγκαις, οὕτως ἦγε τοὺς ἀντιλέγοντας, ὥστε μὴ ἀντιβαίνειν ἔχειν, ἀλλ᾿ οἰκείαις συνδεῖσθαι φωναῖς, ἧπερ δὴ καὶ μεγίστη λόγου δύναμις καὶ σύνεσις. Δηλώσει δὲ καὶ ὁ λόγος,[11] ὃν περὶ τούτου συνέγραψε, κινῶν τὴν γραφίδα, ὡς ἐκ πυξίδος τοῦ Πνεύματος. Τὴν δὲ κυρίαν φωνὴν[12] τέως ὑπερετίθετο, παρά τε τοῦ Πνεύματος αὐτοῦ, καὶ τῶν γνησίων τούτου συναγωνιστῶν, χάριν αἰτῶν τῇ οἰκονομίᾳ μὴ δυσ-

---

σὺν ὁ Δαβίδ. Ψαλμ. ος', 10. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου . . . .

§ 76 2. Τὴν χείρω περὶ αὐτοῦ.) Κακὴν δηλ. ὑπόληψιν περὶ τοῦ μεγ. Βασιλείου ὑπόληψιν ἔχοντες. — 3. Οἱ τοῖς ἑαυτῶν.) Οὗτοι γὰρ μὴ ὁμολογοῦντες παῤῥησίᾳ τὸ Πνεῦμα τὸ ἅγιον Θεόν, ἵνα μὴ τῶν θρόνων αὐτῶν ἐκπέσωσι, κατηγοροῦσι τοῦ μεγ. Βασιλ. ὡς μὴ θεολογοῦντος παῤῥησίᾳ περὶ τοῦ Πνεύματος, ἵνα μὴ ἔληθεν τῶν θρόνων ἐκπέσῃ. — 4. Συνθείας.) Ὁμοουσιότητος δηλ. — 5. Τὸ πυκτίον.) Τὸ τεῦχος τῶν τεσσάρων Εὐαγγελίων. — 6. Δαβίδ.) Ψαλ. ριά. 5. — 7. Οἱ μέν.) Αἱρετικοὶ Πνευματομάχοι. — 8. Τῷ κακῷ προστάτῃ.) Οὐαλεντινιανῷ. — 9. Ἵνα τὸν μέν.) Μέγ. Βασιλ. ἐξορίσωσι τῆς Καισαρείας. — 10. Ὁ δέ.) Μέγ. Βασίλ. — 11. Ὁ λόγος.) Ὁ κατὰ Εὐνομίου ὃν περὶ τοῦ ἁγίου Πνεύματος συνέγραψε. — 12. Κυρίαν φωνήν.) Τὴν Θεὸς περὶ τοῦ ἁγίου Πνεύματος.

γεραίνειν, μηδὲ μιᾶς ἀντεχομένους φωνῆς, τὸ πᾶν ἀπολέσαι δι' ἀπληστίαν τῷ καιρῷ παρασυρείσης τῆς εὐσεβείας. Αὐτοῖς γὰρ οὐδεμίαν εἶναι ζημίαν ὑπαλλαττομένων μικρὸν τῶν λέξεων· καὶ φωναῖς ἄλλαις τὸ ἴσον διδασκομένοις. Οὐδὲ γὰρ ἐν ῥήμασιν ἡμῖν εἶναι τὴν σωτηρίαν μᾶλλον, ἢ πράγμασι. Μηδὲ γὰρ τὸ Ἰουδαίων ἔθνος ἀποβαλεῖν ἄν, εἰ τὴν ἠλειμμένου φωνὴν ἀντὶ τῆς Χριστοῦ πρὸς ὀλίγον ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι. Τῷ δὲ κοινῷ μεγίστην ἂν βλάβην γενέσθαι, τῆς Ἐκκλησίας κατασχεθείσης·[13] ἐπεὶ ὅτι γε παντὸς μᾶλλον ᾔδει τὸ Πνεῦμα Θεὸν, δῆλον μὲν ἐξ ὧν καὶ δημοσίᾳ τοῦτο πολλάκις ἐκήρυξεν, εἴποτε καιρὸς ἦν, καὶ ἰδίᾳ τοῖς ἐρωτῶσι προθύμως ἀνωμολόγησε. Σαφέστερον δὲ πεποίηκεν ἐν τοῖς πρὸς ἐμὲ λόγοις, πρὸς ὃν οὐδὲν ἀπόῤῥητον ἦν αὐτῷ περὶ τούτων κοινολογουμένῳ, μηδὲ ἁπλῶς τοῦτο ἀποφηνάμενος, ἀλλ', ὃ μηδέπω πρότερον πολλάκις πεποίηκεν, ἐπαρασάμενος ἑαυτῷ τὸ φρικωδέστατον, αὐτοῦ τοῦ Πνεύματος ἐκπεσεῖν, εἰμὴ σέβω τὸ Πνεῦμα μετὰ Πατρὸς καὶ Υἱοῦ, ὡς ὁμοούσιον καὶ ὁμότιμον. Εἰδέ μέ τις δέξαιτο κοινωνὸν ἐκείνου κἂν τοῖς τοιούτοις, ἐξαγορεύσω τι καὶ τῶν τοῖς πολλοῖς τέως ἀγνοουμένων, ὅτι τοῦ καιροῦ στενοχωροῦντος ἡμᾶς, ἑαυτῷ μὲν τὴν οἰκονομίαν ἐπέτρεψεν, ἡμῖν δὲ τὴν παῤῥησίαν, οὓς οὐδεὶς ἔμελλε κρίνειν, οὐδὲ ἀποβάλλειν τῆς πατρίδος, ἀφανείᾳ τετιμημένους,[14] ὡς ἐξ ἀμφοτέρων[15] ἰσχυρὸν εἶναι τὸ καθ' ἡμᾶς Εὐαγγέλιον.

§ 77. Καὶ ταῦτα διῆλθον, οὐχ ἵνα τῆς ἐκείνου δόξης ὑπεραπολογήσωμαι· κρείττων γὰρ τῶν ἐγκαλούντων, εἴπερ τινές εἰσιν, ὁ ἀνήρ· ἀλλ' ἵνα μὴ τοῦτον ὅρον τῆς εὐσεβείας νομίζοντες, τὰς ἐν τοῖς γράμμασι μόνας τοῦ ἀνδρὸς εὑρισκομένας φωνὰς, ἀσθενεστέραν τὴν πίστιν ἔχωσι, καὶ ἀπόδειξιν τῆς ἑαυτῶν κακουργίας τὴν ἐκείνου θεολογίαν, ἣν ὁ καιρὸς ἐποίει μετὰ τοῦ Πνεύματος. Ἀλλὰ τὸν τῶν γεγραμμένων νοῦν δοκιμάζοντες, καὶ τὸν σκοπὸν ἀφ' οὗ ταῦτα ἐγράφετο, μᾶλλον τῇ τε ἀληθείᾳ προσάγωνται, καὶ τοὺς ἀσεβοῦντας ἐπικομίζωσιν. Ἐμοὶ γοῦν εἴη,[2] καὶ ὅστις ἐμοὶ φίλος, ἡ ἐκείνου θεολογία! καὶ τοσοῦτον θαῤῥῶ τῇ περὶ τὸ πρᾶγμα τοῦ ἀνδρὸς καθαρότητι, ὥστε καὶ τοῦτο[3] κοινοποιοῦμαι πρὸς ἅπασιν· κἀκείνῳ μὲν τὰ ἐμὰ, ἐμοὶ δὲ τὰ ἐκείνου λογίζοιτο παρά τε Θεῷ καὶ τῶν ἀνθρώπων τοῖς εὐγνωμονεστέροις! Οὐδὲ γὰρ τοὺς

— 13. Κατασχεθείσης.) Ὑπὸ τῶν Πνευματομάχων.—14. Ἀφανείᾳ τετιμημένους.) Ἐπίσκοπος γὰρ ἦν ὁ μέγ. Γρηγόρ. Σασίμων κώμης ἀτίμου. — 15. Ἐξ ἀμφοτέρων.) Καὶ ἐκ τῆς οἰκονομίας τοῦ μεγ. Βασιλ. καὶ ἐκ τῆς παῤῥησίας τοῦ μεγ. Γρηγορίου.

§ 77. 2. Ἐμοὶ γοῦν εἴη.) Οἷον· Εἴθε εἴη ἐμοί τε καὶ τοῖς ἐμοῖς φίλοις τοιαύτη θεολογία, οἵα ἡ τοῦ μεγ. Βασιλ. — 3. Τοῦτο.) Τὸ ἑξῆς δηλ. τὸ, Κἀκείνῳ μὲν

Εὐαγγελιστὰς φαίημεν ἂν ὑπεναντία ποιεῖν ἀλλήλοις, ὅτι οἱ μὲν[4] τῷ σαρκικῷ[5] τοῦ Χριστοῦ πλέον ἐνησχολήθησαν, οἱ δὲ[6] τῇ Θεολογίᾳ[7] προσέθησαν. Καὶ οἱ μὲν[8] ἐκ τῶν καθ' ἡμᾶς, οἱ δὲ ἐκ τῶν ὑπὲρ ἡμᾶς ἐποιήσαντο τὴν ἀρχήν. Οὕτω τὸ κήρυγμα διελόμενοι, πρὸς τὸ χρήσιμον, οἶμαι, τοῖς δεχομένοις, καὶ οὕτω παρὰ τοῦ ἐν αὐτοῖς τυπούμενοι πνεύματος.

§ 78. Φέρε δὴ πολλῶν ἐν τοῖς πάλαι καὶ νῦν γεγονότων ἀνδρῶν ἐπ' εὐσεβείᾳ γνωρίμων, νομοθετῶν, στρατηγῶν, προφητῶν, διδασκάλων, τῶν ἀνδρικῶν μέχρις αἵματος,[2] παρ' ἐκείνοις[3] τὰ ἡμέτερα θεωρήσαντες, κἀντεῦθεν τὸν ἄνδρα γνωρίσωμεν. Ἀδὰμ ἠξιώθη Θεοῦ χειρὸς, καὶ παραδείσου τρυφῆς, καὶ πρώτης νομοθεσίας[4] ἀλλ' εἰ μή τι λέγω βλάσφημον αἰδοῖ τοῦ προπάτορος, τὴν ἐντολὴν οὐκ ἐφύλαξεν· ὁ δὲ,[5] καὶ ἐδέξατο ταύτην, καὶ διεσώσατο, καὶ τῷ ξύλῳ τῆς γνώσεως[6] οὐκ ἐβλάβη, καὶ τὴν φλογίνην ῥομφαίαν παρελθὼν, εὖ οἶδα, τοῦ παραδείσου τετύχηκεν. Ἐνὼς[7] ἤλπισε πρῶτος ἐπικαλεῖσθαι τὸν Κύριον, ὁ δὲ, καὶ ἐπικέκληται, καὶ τοῖς ἄλλοις ἐκήρυξεν, ὃ τοῦ ἐπικαλεῖσθαι πολὺ τιμιώτερον. Ἐνὼχ μετετέθη,[8] μικρᾶς εὐσεβείας (ἔτι γὰρ ἐν σκιαῖς ἦν ἡ πίστις·) ἆθλον εὑράμενος τὴν μετάθεσιν, καὶ τοῦ ἑξῆς βίου τὸν κίνδυνον διαπέφευγε· τοῦ δὲ,[9] ὅλος ὁ βίος μετάθεσις ἦν, τελείως ἐν βίῳ τελείῳ δοκιμασθέντος. Νῶε κιβωτὸν ἐπιστεύθη,[10] καὶ κόσμου δευτέρου σπέρματα, ξύλῳ μικρῷ πιστευθέντα, καὶ καθ' ὑδάτων σωζόμενα· ὁ δὲ, κατακλυσμὸν ἀσεβείας διέφυγε, καὶ κιβωτὸν σωτηρίας τὴν ἑαυτοῦ πεποίηται πόλιν, κούφως τῶν αἱρετικῶν ὑπερπλέουσαν· ἐξ οὗ κόσμον ὅλον ἀνεκαλέσατο. Μέγας ὁ Ἀβραὰμ, καὶ πατριάρχης, καὶ θύτης καινῆς[11] θυσίας, τὸν ἐκ τῆς ἐπαγγελίας

---

καὶ τλ. εὐκτικὸς δὲ ὁ λόγος. — 4. Οἱ μέν.) Οἱ περὶ τὸν Ματθαῖον. — 5. Τῷ σαρκικῷ.) Εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ. — 6. Οἱ δέ.) περὶ τὸν Ἰωάννην. — 7. Τῇ θεολογίᾳ.) Τῇ ἀνάρχῳ προόδῳ, τῇ ἐκ πατρὸς πρὸ τῶν αἰώνων γεννήσει τοῦ Χριστοῦ. — 8. Καὶ οἱ μέν.) Κατ' ἐπεξήγησιν τῶν εἰρημένων.

§ 78. 2. Τῶν ἀνδρικῶν μέχρις αἵματος.) Τῶν μαρτύρων δηλ. ἀγωνισθέντων ἀνδρικῶς μέχρις αἵματος. — 3. Παρ' ἐκείνοις.) Ἐκ παραθέσεως δηλ. πρὸς ἐκείνους. — 4. Πρώτης νομοθεσίας.) Πρώτης δηλ. παρὰ Θεοῦ ἐντολῆς· Γενέσ. β΄. 16. — 5. Ὁ δέ.) Μέγ. Βασίλ. — 6. Τῷ ξύλῳ τῆς γνώσεως.) Τῆς ὑψηλοτέρας θεωρίας ἀψάμενος δηλ. — 7. Ἐνώς.) Γενέσ. δ΄. 26. — 8. Μετετέθη.) Γενέσ. ε΄. 24. Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ, καὶ οὐχ εὑρίσκετο, ὅτι μετέθηκεν αὐτὸν ὁ Θεός. — 9. Τοῦ δέ.) Μεγ. Βασιλείου. — 10. Κιβωτὸν ἐπιστεύθη.) Ἰδὼν γὰρ ὁ Κύριος τὴν γῆν πᾶσαν κατεφθαρμένην, προσέταξε τῷ Νῶε, ὃς ἦν δίκαιος, κιβωτὸν ποιήσασθαι ἑαυτῷ καὶ τῷ οἴκῳ αὐτοῦ, καὶ λαβεῖν μεθ' ἑαυτοῦ ἐκ πάντων τῶν ζώων ἐν τῇ κιβωτῷ, καὶ τούτου γενομένου, ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς τεσσαρακονθήμερος, καὶ ὁ κατακλυσμὸς ἐκεῖνος, καὶ ἀπέθανε πάντα τὰ ζῶα τὰ ἐπὶ γῆς καὶ οἱ ἄνθρωποι. Γενέσ. ς΄.... η΄. — 11. Καὶ θύτης καινῆς.) Ἄτεκνος γὰρ ὢν, ὁ μεγ. Ἀβραὰμ, ἐν γήρᾳ κατ' ἐπιταγὴν Θεοῦ ἐγέννησε τὸν Ἰσαὰκ, εἶτα πειράζων αὐτὸν ὁ Θεὸς περὶ τῆς πίστεως αὐτοῦ, ᾔτησεν εἰς θυσίαν τὸν μονογενῆ υἱὸν, ὁ δὲ προθύμως θύειν μέλλων, κριὸν εἶδε πλησίον παρὰ Θεοῦ πεμφθέντα, καὶ κατὰ πρόσταξιν Θεοῦ ἀπέσχετο τοῦ υἱοῦ, καὶ τὸν κριὸν ἔθυ-

ΙΩΑΝΝΙΝΑ 2006

τῷ δεδοκότι προσαγαγὼν ἱερεῖον ἕτοιμον, καὶ πρὸς τὴν σφαγὴν ἐπειγόμενον· ἀλλ' οὐδὲ τὸ ἐκείνου μικρόν· ἑαυτὸν προσῆγε τῷ Θεῷ, καὶ οὐδὲν[12] ὡς ἰσότιμον ἀντεδόθη· τί γὰρ καὶ ἦν ὥστε καὶ τελειωθῆναι τὸ καλλιέρημα. Ἰσαὰκ ἐπηγγέλθη[13] καὶ πρὸ γενέσεως· ὁ δὲ, αὐτεπάγγελτος ἦν, καὶ τὴν Ῥεβέκκαν,[14] λέγω δὴ τὴν Ἐκκλησίαν, οὐ πόῤῥωθεν, ἀλλ' ἐγγύθεν ἠγάγετο· οὐδὲ διὰ πρεσβείας οἰκετικῆς, ἀλλ' ἐκ Θεοῦ δοθεῖσαν καὶ πιστευθεῖσαν· οὐδὲ κατεσοφίσθη[15] περὶ τὴν τῶν τέκνων προτίμησιν, ἀλλ' ἑκάστῳ τὰ πρὸς ἀξίαν ἀπαραλογίστως ἔνεμε, μετὰ τῆς τοῦ Πνεύματος κρίσεως. Ἐπαινῶ τὴν Ἰακὼβ κλίμακα,[16] καὶ τὴν στήλην, ἣν ἤλειψε τῷ Θεῷ, καὶ τὴν πρὸς αὐτὸν πάλην,[17] ἥτις ποτε ἦν· οἶμαι δὲ, τοῦ ἀνθρωπείου μέτρου πρὸς τὸ θεῖον ὕψος ἀντιπαρέκτασις, ὅθεν καὶ ἄγει τὰ σύμβολα τῆς ἡττωμένης γενέσεως. Ἐπαινῶ καὶ τὴν περὶ τὰ θρέμματα[18] τοῦ ἀνδρὸς εὐμηχανίαν, καὶ εὐημερίαν, καὶ τοὺς δώδεκα[19] ἐξ αὐτοῦ πατριάρχας, καὶ τὸν τῶν εὐλογιῶν μερισμὸν, σὺν οὐκ ἀγεννεῖ προφητείᾳ τοῦ μέλλοντος. Ἀλλ' ἐπαινῶ καὶ τούτου τὴν οὐχ ὁραθεῖσαν μόνον, ἀλλὰ καὶ διατεθεῖσαν κλίμακα, ταῖς κατὰ μέρος εἰς ἀρετὴν ἀναβάσεσι, καὶ τὴν στήλην,[20] ἣν οὐκ ἤλειψεν, ἀλλ' ἤγειρε τῷ Θεῷ, τὰ τῶν ἀσεβῶν

---

σε· Γενέσ. κβ΄. — 12. Καὶ οὐδέν.) Ὡς ἐν τῇ θυσίᾳ τοῦ Ἀβραὰμ ὁ κριός. — 13. Ἐπηγγέλθη.) Ὁ γὰρ Θεὸς, φανεὶς τῷ Ἀβραὰμ ἐν τρισὶν ἀνδράσι ἐν τῇ δρυῒ τῇ Μαμβρῇ, ἐπηγγείλατο αὐτῷ υἱὸν γενέσθαι· Γενέσ. ιη΄ — 14. Ῥεβέκκαν.) Αὕτη δὲ γυνὴ ἦν Ἰσαὰκ, ἐκ Μεσοποταμίας ληφθεῖσα αὐτῷ κατὰ τὴν ἐντολὴν Ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ, οἰκέτου πεμφθέντος εἰς ζήτησιν· Γενέσ. κδ΄ — 15. Κατεσοφίσθη.) Δύο υἱοὺς ἔσχεν Ἰσαὰκ, τὸν Ἡσαῦ πρεσβύτερον, καὶ τὸν Ἰακὼβ νεώτερον· βουλόμενος δὲ εὐλογῆσαι τὸν Ἡσαῦ, ἔπεμψεν εἰς θήραν· Ῥεβέκκα δὲ φιλοῦσα τὸν Ἰακὼβ μᾶλλον, ἔπεμψεν εἰς τὸ ποίμνιον, καὶ πρόβατον ἐκεῖθεν ἠγαγεν ὃ θύσασα, παρέθετο τῷ Ἰσαάκ· ὁ δὲ νομίσας Ἡσαῦ ταῦτα ποιεῖν, εὐλόγησε τὸν Ἰακὼβ ἀντ' ἐκείνου· ἐλθόντος δὲ κἀκείνου καὶ τὸ σόφισμα ἐπιγνοὺς, οὐκ ἔτι εἶχεν εὐλογεῖν, ὅτι μὴ δοῦλον εἶναι τῷ ἀδελφῷ· Γενέσ. κζ΄. — 16 Κλίμακα.) Πορευόμενος γὰρ Ἰακὼβ εἰς Μεσοποταμίαν, κοιμώμενος, εἶδε κλίμακα μέχρις οὐρανοῦ ἥκουσαν, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας· καὶ ἀναστὰς ἔστησε στήλην, ἐπιχέας ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς ἐν τῷ τόπῳ ἐκείνῳ, καλέσας Οἶκον Θεοῦ· Γενέσ. κη΄ 10..19. λα΄. 13. — 17. Καὶ τὴν πρὸς αὐτὸν πάλην.) Τὸν Θεὸν δηλ. πορευόμενος γὰρ Ἰακὼβ ἀπέναντι τοῦ ἀδελφοῦ Ἡσαῦ, τῶν ἄλλων διαβαινόντων τὴν διάβασιν Ἰακὼβ, αὐτὸς ὑπελείφθη, καὶ ἐπάλαιε μετὰ ἀγνώστου τινὸς ἕως πρωΐ· ἔνθα καὶ γνοὺς ὅτι ὁ Θεὸς ἦν ὁ μετ' αὐτοῦ παλαίων, ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, Εἶδος Θεοῦ. Γενέσ. λβ΄. 24...30. — 18. Τὴν περὶ τὰ θρέμματα.) Δουλεύσας γὰρ Ἰακὼβ Λάβαν εἴκοσιν ἔτη ᾐτήσατο μισθὸν, καὶ συνέθεντο διαχωρῆσαι ἐκ τῶν θρεμμάτων τὰ φαιὰ, καὶ διάλευκα, καὶ ῥαντὰ καὶ ἐκ τῶν λοιπῶν ὅτι τεχθείη, εἶναι μισθὸν αὐτοῦ· τούτου γενομένου, ῥάβδους λεπίσας καὶ ποικίλας ποιήσας, ὅτε τὰ κτήνη ἐνεκίσσων, ἐπὶ τοῦ ὕδατος ἐτίθη· ἐκεῖνα οὖν ὁρῶντα τὰς ῥάβδους ἐν τῷ συλλαμβάνειν, ἔτικτον ποικιλόχροα ἃ ἦν τοῦ Ἰακὼβ, τὰ δ' ἄσημα τοῦ Λάβαν· Γενέσ. λ΄. 26.. — 19. Τοὺς δώδεκα.) Δώδεκα ἦσαν οἱ υἱοὶ Ἰακὼβ, ἐξ ὧν τὸ τῶν Ἰουδαίων ἔθνος ἅπαν· Ῥουβὴν, Συμεὼν, Λευΐ, Ἰούδας, Ζαβουλὼν, Ἰσσάχαρ, Δὰν, Γὰδ, Ἀσὴρ, Νεφθαλεὶμ, Ἰωσὴφ, Βενιαμίν· τούτους, εἰς τὰ ἔσχατα γενόμενος Ἰακὼβ, εὐλογήσας, προεφήτευσε περὶ ἑνὸς ἑκάστου. Γενέσ. μθ΄. — 20. Τὴν στήλην.) Τὰ κα-

στηλιτεύουσαν, καὶ τὴν πάλην, ἣν οὐκ ἐπάλαισε πρὸς Θεὸν, ἀλλ' ὑπὲρ Θεοῦ τὰ τῶν αἱρετικῶν καταβάλλουσαν· τήν τε ποιμαντικὴν τοῦ ἀνδρὸς, ἐξ ἧς ἐπλούτησε, πλείω τῶν ἀσήμων προβάτων κτησάμενος τὰ ἐπίσημα,[21] τήν τε καλὴν πολυτεκνίαν τῶν κατὰ Θεὸν γεννηθέντων, καὶ τὴν εὐλογίαν, ᾗ πολλοὺς ἐστήριξεν. Ἰωσὴφ ἐγένετο σιτοδότης,[22] ἀλλ' Αἰγύπτου μόνης, καὶ οὐ πολλάκις, καὶ σωματικῶς· ὁ δὲ, πάντων, καὶ ἀεὶ, καὶ πνευματικῶς· ὅπερ ἐμοὶ τῆς σιτοδείας ἐκείνης αἰδεσιμώτερον. Μετὰ Ἰὼβ[23] τοῦ Αὐσίτου, καὶ πεπείραται, καὶ νενίκηκε, καὶ ἀνηγόρευται λαμπρῶς ἐπὶ τέλει τῶν ἄθλων, μηδενὶ τῶν τινασσόντων, πολλῶν ὄντων, κατασεισθεὶς, ἀλλὰ πολλῷ τῷ περιόντι τὸν πειραστὴν[24] καταπαλαίσας, καὶ τῶν φίλων τὴν ἀλογίαν ἐπιστομίσας, ἀγνοούντων τοῦ πάθους τὸ μυστήριον.[25]

§ 79. Μωϋσῆς καὶ Ἀαρὼν[2] ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ μέγας. Μωϋσῆς μὲν, Αἴγυπτον βασανίσας, λαὸν διασώσας ἐν σημείοις πολλοῖς καὶ τέρασι, τῆς νεφέλης εἴσω χωρήσας, νομοθετήσας[3] τὸν διπλοῦν νόμον, τόν τε τοῦ γράμματος ἔξωθεν, καὶ ὅσος ἔνδοθεν τὸν τοῦ Πνεύματος. Ἀαρὼν δὲ Μωϋσέως ἀδελφὸς καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα, τοῦ λαοῦ προθυόμενος,[4] καὶ προευχόμενος, μύστης τῆς ἱερᾶς καὶ μεγάλης σκηνῆς, ἣν ἔπηξεν[5] ὁ Κύριος, οὐκ ἄνθρωπος. Τούτων δὲ ἀμφοτέρων ζηλωτὴς ἐκεῖνος,[6] βασανίζων μὲν οὐ σωματικαῖς μάστιξι,[7] πνευματικαῖς δὲ καὶ λογικαῖς, ἔθνος αἱρετικὸν καὶ Αἰγύπτιον, ἄγων δὲ λαὸν περιούσιον,[8] ζηλωτὴν καλῶν ἔργων ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας·[9] πλαξὶ δὲ νόμους ἐγγράφων, οὐ συντριβομέναις, ἀλλὰ σωζομέναις· οὐκ ἔτι σκιώδεις, ἀλλ' ὅλον πνευματικούς· εἰς δὲ τὰ ἅγια τῶν ἁγίων, οὐχ

---

τὰ Εὐνομίου συγγράμματα δηλ. — 21. Τῶν ἀσήμων . . . τὰ ἐπίσημα.) Γενέσ. λ'. 42. — 22. Σιτοδότης.) Ὁ γὰρ Ἰωσὴφ προϊδὼν λιμὸν ἐσόμενον ἐν Αἰγύπτῳ καὶ προπαρασκευάσας σῖτον διεδίδου εἰς Αἴγυπτον ἐν τῷ καιρῷ τοῦ λιμοῦ. Γενέσ. μά. 55. — 23. Ἰώβ.) Οὗτος γὰρ πλουσιώτατος ἀνθρώπων ὤν, πενέστατος πάντων ἐγένετο· καὶ ἐπὶ κοπρίας ἔκειτο ἐλεεινῶς. Ἰδὼν δὲ Θεὸς, τὴν καρτερίαν αὐτοῦ, εὐλόγησε τὰ ἔσχατα αὐτοῦ· Ἐν τῇ βίβλ. Ἰώβ. — 24. Τὸν πειραστήν.) Διάβολον δηλ. — 25 Τοῦ πάθους τὸ μυστήριον.) Τὸ μυστικὸν αἴτιον δηλ. τῆς περὶ τοῦ ἁγίου Πνεύματος οἰκονομίας· καθ' ἣν, τέως ὑπερετίθετο τὴν Θεὸς φωνήν.

§ 79. 2. Μωϋσῆς καὶ Ἀαρών.) Ἐκ τοῦ Δαβὶδ ἐλήφθη τὸ χωρίον Ψαλμ. ϟή. 6. — 3. Βασανίσας . . νομοθετήσας.) Ἐβασάνισε μὲν τὴν Αἴγυπτον διὰ τῶν δέκα πληγῶν· διέσωσε δὲ τὸν Ἰσραηλιτικὸν λαὸν, διαβιβάσας διὰ τῆς Ἐρυθρᾶς θαλάσσης· εἰσεχώρησε δὲ εἴσω τῆς νεφέλης, ὅτε εἰς τὸ ὄρος Σινὰ ἀνέβη, λαβεῖν παρὰ Θεοῦ τὸν νόμον ἐν πλαξὶ γεγραμμένον δακτύλῳ Θεοῦ· Ἔξοδος — 4. Προθυόμενος.) Ἦν γὰρ Ἱερεὺς καὶ εἰσήρχετο εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ θυσίας τὰς πρὸς Θεὸν προσέφερε· Λευϊτικ — 5. Ἣν ἔπηξεν.) Ὡς φησὶ Παῦλ. πρὸς Ἑβραίους ή. 2. — 6. Ἐκεῖνος.) Ὁ μέγας Βασίλειος. — 7. Μάστιξι.) Καθάπερ ὁ Μωϋσῆς τοὺς Αἰγυπτίους· οὕτω καὶ ὁ μέγ. Βασίλ. τοὺς Αἱρετικούς. — 8 Λαὸν περιούσιον.) Τὸν Ὀρθόδοξον· Δευτερονόμ. ζ'. 6. — 9. Τὴν γῆν τῆς Ἐπαγγελίας.) Τὴν οὐράνιον βασιλείαν δηλ.

Ε.Π.Α. τμ.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἅπαξ τοῦ ἐνιαυτοῦ,[10] πολλάκις δέ, καὶ καθ᾽ ἑκάστην ὡς εἰπεῖν, εἰσιὼν τὴν ἡμέραν, ὅθεν τὴν ἁγίαν ἡμῖν ἀνακαλύπτει Τριάδα, καὶ λαὸν καθαίρων, οὐ προσκαίροις ῥαντίσμασιν,[11] ἀλλ᾽ ἀϊδίοις ἁγνίσμασι.[12] Τί τὸ κάλλιστον Ἰησοῦ, στρατηγία[13] καὶ κληροδοσία, καὶ γῆς τῆς ἁγίας κατάσχεσις· ὁ δέ,[14] οὐκ ἔξαρχος; οὐ στρατηγὸς τῶν διὰ πίστεως σωζομένων; οὐ κληροδότης τῶν διαφόρων παρὰ Θεῷ κλήρων καὶ νομῶν, ἃς διανέμει τοῖς ἀγομένοις; ὥστε κἀκείνην δύνασθαι τὴν φωνὴν εἰπεῖν, ὅτι σχοινία[15] ἐπέπεσόν μοι ἐν τοῖς κρατίστοις· καί, ἐν ταῖς χερσί σου[16] οἱ κλῆροί μου· κλῆροι τῶν χαμαὶ ἐρχομένων, καὶ ἁρπαζομένων πολλῷ τιμιώτεροι. Καὶ ἵνα τοὺς κριτὰς παραδράμωμεν, ἢ τῶν κριτῶν τοὺς εὐδοκιμωτάτους, Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις[17] τὸ ὄνομα αὐτοῦ, καὶ Θεῷ δοτὸς πρὸ γενέσεως,[18] καὶ μετὰ τὴν γέννησιν εὐθὺς ἱερός, καὶ χρίων[19] βασιλέας, καὶ ἱερέας, διὰ τοῦ κέρατος. Οὗτος δὲ οὐκ ἐκ βρέφους Θεῷ καθιερωμένος ἀπὸ μήτρας, καὶ μετὰ τὴν διπλοΐδα[20] ἐπιδεδομένος τῷ βήματι, καὶ βλέπων[21] τὰ ἐπουράνια, καὶ χριστὸς Κυρίου ἦν, καὶ χρίστης τῶν τελειουμένων ἐκ Πνεύματος;

§ 80. Δαβὶδ ἐν βασιλεῦσιν ἀοίδιμος, οὗ πολλαὶ μὲν ἱστοροῦνται κατὰ τῶν ἐχθρῶν νῖκαι καὶ τρόπαια· ἡ πρᾳότης δέ, τὸ ἐπισημότατον, καὶ πρὸ τῆς βασιλείας ἡ τῆς κινύρας[2] δύναμις, καὶ πονηροῦ πνεύματος κατεπᾴδουσα. Σολομὼν πλάτος καρδίας[3]

---

— 10. Οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ.) Καθάπερ ὁ Ἀαρών, ἅπαξ τοῦ ἐνιαυτοῦ δι᾽ αἵματος εἰσερχόμενος ἐξιλάσκετο τὸν Θεόν· Ἔξοδ. λ΄. 10. καὶ Παῦλ. πρὸς Ἑβρ. θ΄. 7. — 11. Ῥαντίσμασι.) Τῷ αἵματι τοῦ θύματος ῥαίνων, ὡς Ἀαρὼν ἐξ αἵματος ταύρων καὶ τράγων καὶ σποδοῦ δαμάλεως. Λευϊτικ. δ΄. . . . . — 12. Ἀϊδίοις ἁγνίσμασι.) Τοῦ ἱεροῦ δηλ. βαπτίσματος, καὶ τῆς ἀναιμάκτου θυσίας. — 13. Στρατηγία.) Στρατηγὸς γὰρ ἦν τῶν Ἰουδαίων ὁ Ἰησοῦς τοῦ Ναυῆ, καὶ λαβὼν τὴν Παλαιστίνην κατὰ πρόσταγμα θεῖον, διεμερίσατο ταῖς δώδεκα φυλαῖς τοῦ Ἰσραὴλ ἐν κλήρῳ· γῆν δὲ ἁγίαν φησὶ τὴν Ἱερουσαλὴμ καὶ πᾶσαν, ἧς ἦρχον Ἰουδαῖοι. Ἰησ. Ναυ. ά. ιγ΄. ιδ΄. — 14. Ὁ δέ.) Μέγας Βασίλειος. — 15. Σχοινία.) Ψαλ. ιε΄. 6. — 16. Ἐν ταῖς χερσί σου.) Ψαλ. λ΄. 15. — 17. Ἐν τοῖς ἐπικαλουμένοις.) Ψαλ. ϟή. 6. — 18. Πρὸ γενέσεως.) Ἄννα γὰρ ἡ γυνὴ Ἐλκανῆ, ἐπειδὴ ἦν ἄτεκνος, προσηύξατο τῷ Κυρίῳ δοῦναι αὐτῇ τέκνον, καὶ δοτὸν ποιήσει αὐτὸ ἕως ἡμέρας θανάτου αὐτοῦ, ταύτης εἰσήκουσεν ὁ Θεὸς καὶ συλλαβοῦσα, ἔτεκε τὸν Σαμουήλ· ὃν καὶ τῷ Θεῷ ἀφιέρωσε· Βασ. Α΄. ά. — 19. Χρίων.) Οὗτος γὰρ καὶ Σαοὺλ ἔχρισεν εἰς βασιλέα· Βασιλ. Α΄. ι. καὶ Δαβὶδ τὸν υἱὸν Ἰεσσαί. αὐτόθ. ις΄. — 20. Τὴν διπλοΐδα.) Καὶ γὰρ Σαμουὴλ διπλοΐδα ἐφόρει, τῆς μητρὸς ποιησάσης· Βασ. Α΄. β΄. 19. — 21. Καὶ βλέπων.) Τὸν γὰρ προφήτην Σαμουὴλ ἐκάλει ὁ λαὸς ὁ βλέπων. Βασ. Α΄. θ΄. 11.

§ 80. 2. Ἡ τῆς κινύρας.) Ὁ γὰρ Σαοὺλ πνεύματι πονηρῷ κατεχόμενος, τῇ κινύρᾳ τοῦ Δαβὶδ ἄνεσιν εὕρισκε, ψάλλοντος ἐνώπιον αὐτοῦ· τότε γὰρ ἀφίστατο ἀπ᾽ αὐτοῦ τὸ πονηρὸν πνεῦμα· Βασιλ. Α΄. ις΄. 23. — 3. Πλάτος καρδίας.) «Καὶ ἔδωκε Κύριος φρόνησιν τῷ «Σολομῶντι καὶ σοφίαν πολλὴν σφόδρα, «καὶ πλάτος καρδίας, ὡς ἡ ἄμμος ἡ «παρὰ τὴν θάλασσαν·« Βασ. Γ΄. β΄. 35. «Καὶ ἐπληθύνθη ἡ φρόνησις Σολομῶν «σφόδρα ὑπὲρ φρόνησιν πάντων υἱῶν

ΕΥΓ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ᾐτήσατο παρὰ Θεοῦ, καὶ τετύχηκεν, ἐπὶ πλεῖστον προελθὼν σοφίας καὶ θεωρίας, ὥστε γενέσθαι τῶν καθ' ἑαυτὸν ἁπάντων εὐδοκιμώτατος. Ὁ δέ,[4] τοῦ μὲν τῷ πράῳ, τοῦ δὲ τῇ σοφίᾳ κατὰ τὸν ἐμὸν λόγον, οὐδὲν ἢ μικρῷ λείπεται· ὥστε καὶ βασιλέων θάρσος δαιμονώντων καταμαλάσσειν, καὶ μὴ βασίλισσαν[5] νότου μόνον, ἢ τὸν δεῖνα, κατὰ κλέος τῆς αὐτοῦ σοφίας ἐκ τῶν περάτων τῆς γῆς ἀπαντᾷν· ἀλλὰ καὶ πᾶσι τοῖς πέρασι τὴν ἐκείνου σοφίαν γνωρίζεσθαι. Καὶ τὰ ἑξῆς[6] παρήσω τοῦ Σολομῶντος, πᾶσι δὲ δῆλα, κἂν ἡμεῖς φειδώμεθα. Ἐπαινεῖς Ἡλιοῦ τὴν πρὸς τοὺς τυράννους[7] παῤῥησίαν, καὶ τὴν διὰ πυρὸς ἁρπαγήν; Ἐλισσαίου τε τὴν καλὴν κληρονομίαν, τὴν μηλωτήν,[8] ᾗ τὸ Ἡλιοῦ πνεῦμα συνηκολούθησεν; Ἐπαίνει κἀκείνου τὴν ἐν πυρὶ ζωήν, τῷ πλήθει[9] λέγω τῶν πειρασμῶν, καὶ τὴν διὰ πυρὸς σωτηρίαν, καίοντος μέν, οὐ κατακαίοντος δέ, τὸ περὶ τὴν βάτον[10] θαῦμα, καὶ τὸ καλὸν ἐξ ὕψους θέρος, τὴν ἀσαρκίαν. Ἐῶ τἄλλα τοὺς δροσισθέντας[11] ἐν πυρὶ νεανίας, τὸν ἐν γαστρὶ[12] κήτους εὐξάμενον προφήτην φυγάδα, καὶ ὡς ἀπὸ θαλάμου τοῦ θηρὸς προελθόντα, τὸν ἐν λάκκῳ[13]

---

ἀρχαίων, καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου» αὐτόθ. γ'. δ'. 29. 30. — 4. Ὁ δέ.) Μέγας Βασίλ. τοῦ μὲν Δαβίδ, . . τοῦ δὲ Σολομῶντος. — 5. Καὶ Μὴ Βασίλισσαν.) Βασίλισσα Σαβὰ ἀκούσασα περὶ τῆς σοφίας Σολομῶντος ἦλθε πειρᾶσθαι αὐτὸν ἐν αἰνίγμασι· καὶ εὗρεν αὐτὸν καθ' ἃ ἤκουσεν περὶ αὐτοῦ· Βασ. Γ'. ι. καὶ Ματθ· ιβ'. 42. — 6. Καὶ τὰ ἑξῆς.) Τὴν γυναικομανίαν, καὶ τὴν ἐξ αὐτῆς δηλ. εἰδωλολατρείαν· Βασ. Γ'. ιά. — 7. Πρὸς τοὺς τυράννους.) Ἀχαὰβ τὸν βασιλέα, καὶ Ἰεζάβελ τὴν γυναῖκα αὐτοῦ· τούτοις γὰρ παῤῥησίᾳ διελέγετο ἐλέγχων, καὶ τοὺς ἱερεῖς καὶ τοὺς προφήτας Ἰεζάβελ ἀπέκτεινε· καὶ τὸν ἀμπελῶνα Ναβουθαὶ ἀδίκως λαβόντα Ἀχαὰβ ἐξήλεγξε· Βασ. Γ'. ιζ'. . . . . ιθ'. μετετέθη δὲ Ἠλιοῦ ἀναληφθεὶς δι' ἅρματος καὶ ἵππων πυρός· Βασιλ. Δ'. β'. 11. — 8. Τὴν μηλωτήν.) Ἀναληφθέντος γὰρ Ἠλιοῦ, ἡ μηλωτὴ αὐτοῦ ἔπεσεν ἐπὶ Ἐλισσαιὲ, μεθ' ἧς καὶ τὸ πνεῦμα συνηκολούθησεν αὐτῷ Ἠλιοῦ. Βασιλ. Δ'. β'. 13. — 9. Τῷ πλήθει.) Ἐξήγησις τοῦ πυρὸς, πῦρ δηλ. καλεῖ τὸ πλῆθος τῶν παρὰ τῶν αἱρετικῶν πειρασμῶν. — 10. Τὸ περὶ τὴν βάτον.) Μωϋσῆς γὰρ ποιμαίνων τὰ πρόβατα Ἰοθὼρ τοῦ γαμβροῦ αὐτοῦ εἶδε βάτον καιομένην πυρὶ, καὶ οὐ κατακαιομένην, καὶ προσελθόντι ἐλάλει ὁ Θεὸς αὐτῷ ἐκ τῆς βάτου· Ἔξοδ. γ'. — 11. Δροσισθέντας.) Ναβουχοδονόσωρ γὰρ βασιλεὺς Βαβυλῶνος μεγίστην αὐτοῦ εἰκόνα στήσας ἐν πεδίῳ, προσέταξε πάντας, ἀκούσαντας τῶν μουσικῶν ὀργάνων, πεσεῖν καὶ προσκυνῆσαι· τρεῖς δὲ παῖδες Ἑβραίων ἐξ εὐγενῶν, Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ, οὐ προσεκύνησαν, καὶ διὰ τοῦτο ἐνεβλήθησαν εἰς κάμινον πυρὸς, ἑπτάκις ἐκκαυθεῖσαν· ἀλλὰ περιεπάτουν οὗτοι ἐν μέσῳ τῆς φλογὸς, μηδὲν παθόντες· ἀνθ' ὧν ἠξίωσεν αὐτοὺς ὁ Ναβουχοδονόσωρ ἡγεῖσθαι πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ Ἰουδαίων· Δανιήλ. γ'. — 12. Τὸν ἐν γαστρί.) Τὸν Ἰωνᾶν λέγει· οὗτος γὰρ σταλεὶς παρὰ Θεοῦ εἰς Νηνευῒ κηρύξαι μετάνοιαν, καὶ θάνατον μὴ μετανοήσασιν, ἐμβὰς εἰς πλοῖον, εἰς Θαρσεῖς ἔπλει· ὅθεν εἰς θάλασσαν ἐῤῥίπται ὑπὸ τῶν ναυτῶν, ζάλης γενομένης· καὶ κῆτος κατέπιεν αὐτὸν, καὶ ἦν ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας, καὶ εὐξάμενον τῷ Θεῷ, ἀπέμεσεν αὐτὸν τὸ κῆτος· Ἰων. β'. — 13. Τὸν ἐν λάκκῳ.) Τὸν Δανιὴλ λέγει· Τοῦτον γὰρ φθονοῦντες οἱ σατράπαι Δαρείου διὰ τὴν τιμὴν ὅτι ἐξήγησεν αὐτοῦ τὰ ὁράματα, συνεβούλευσαν τὸν βασιλέα προστάξαι μηδένα αἰτῆσαι παρὰ Θεοῦ ἢ ἀνθρώπων αἴτημα, ἢ παρὰ τοῦ βασιλέως ἐν τριάκοντα ἡμέραις, τὸν δὲ ἀπειθήσαντα ἐμβαλεῖν εἰς τὸν τῶν λεόντων λάκκον·

δίκαιον, λεόντων θράσος πεδήσαντα, ἢ τὴν τῶν ἑπτὰ[14] Μακκαβαίων ἄθλησιν, σὺν ἱερεῖ καὶ μητρὶ τελειωθέντων ἐν αἵματι, καὶ παντοίοις βασάνων εἴδεσιν, ὧν ἐκεῖνος ζηλώσας τὴν καρτερίαν, καὶ τὴν δόξαν ἠνέγκατο.

§ 81. Ἐπὶ δὲ τὴν νέαν μέτειμι διαθήκην, καὶ τοῖς ἐνταῦθα εὐδοκίμοις τὰ ἐκείνου παρεξετάσας, τιμήσω τὸν μαθητὴν ἐκ τῶν διδασκάλων. Τίς Ἰησοῦ πρόδρομος; Ἰωάννης, ὡς φωνὴ λόγου,[2] καὶ ὡς λύχνος φωτός· οὗ καὶ προεσκίρτησεν[3] ἐν γαστρὶ, καὶ προέδραμεν[4] εἰς ᾅδου, διὰ τῆς Ἡρώδου μανίας παραπεμφθεὶς, ἵνα κηρύξῃ κἀκεῖ[5] τὸν ἐρχόμενον. Καὶ εἴ τῳ φαίνηται τολμηρὸν ὁ λόγος, ἐκεῖνο προεξεταζέτω τοῖς λεγομένοις, ὅτι μὴ προτιθεὶς[6] μηδὲ εἰς ἴσον μετάγων τὸν ἄνδρα τῷ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας, ταύτην ποιοῦμαι τὴν παρεξέτασιν, ἀλλὰ ζηλωτὴν ἀποφαίνων, καὶ τι τοῦ χαρακτῆρος ἐκείνου ἐν ἑαυτῷ φέροντα. Οὐ γὰρ μικρὸν τοῖς σπουδαίοις,[7] καὶ μικρὰ[8] τῶν μεγίστων ἡ μίμησις· ἢ γάρ[9] οὐκ ἐναργὴς τῆς ἐκείνου φιλοσοφίας εἰκὼν ὁ ἀνήρ; Καὶ οὗτος ἔρημον ᾤκησε, καὶ τούτῳ τρίχινον ἔσθημα εἶχον αἱ νύκτες, ἀγνοούμενον, οὐκ ἐπιδεικνύμενον. Καὶ οὗτος τὴν ἴσην τροφὴν ἠγάπησε· Θεῷ καθαίρων ἑαυτὸν διὰ τῆς ἐγκρατείας. Καὶ οὗτος Χριστοῦ κήρυξ ἠξιώθη γενέσθαι, εἰ καὶ μὴ πρόδρομος. Καὶ ἐξεπορεύετο πρὸς αὐτὸν οὐχ ἡ περίχωρος[10] πᾶσα μόνον, ἀλλ' ἤδη

---

τοῦ δὲ προστάξαντος, Δανιὴλ μόνος μὴ ὑπακούσας ἐνεβλήθη εἰς τὸν λάκκον· καὶ βασιλεὺς αὐτὸν μὲν ἐτίμησε, μηδὲν ὑπὸ τῶν λεόντων παθόντα, τοὺς δὲ διαβαλόντας ἔῤῥιψεν εἰς τὸν λάκκον, καὶ κατεβρώθησαν ὑπὸ τῶν λεόντων· Δανιήλ. ς'. — 14 Ἢ τὴν τῶν ἑπτά.) Ἐλεάζαρός τις τῶν πρωτευόντων γραμματέων, ἀνὴρ ἤδη προβεβηκὼς τὴν ἡλικίαν, ἀναγκαζόμενος φαγεῖν ὕειον κρέας, καὶ μὴ βουλόμενος, πληγαῖς τὸν βίον μετήλλαξε Μακκαβ. Β'. ς'. 18. Ἑπτὰ δὲ νεανίαι μετὰ τῆς μητρὸς συλληφθέντες, ἠναγκάζοντο ὑπ' Ἀντιόχου τοῦ βασιλέως πληγαῖς, ὑείων ἅπτεσθαι κρεῶν, καὶ μὴ βουλομένων, καθ' ἕνα ἕκαστον τηγάνοι ἐνέψειν παρακελεύετο ὁ τύραννος· οἱ δὲ ἔφερον γενναίως πάντα, καὶ τελευταία ἡ μήτηρ ἀπέθανεν· αὐτόθ. ζ'.

§ 81. 2. Φωνὴ λόγου.) Λουκ. γ'. 4. Ἰωάν. 22. — 3. Προεσκίρτησεν.) Ἐλθούσης γὰρ τῆς Μαρίας μητρὸς τοῦ Κυρίου ἐν γαστρὶ ἐχούσης εἰς Ἐλισάβετ τῆς μητρὸς Ἰωάννου καὶ ταύτης ἐν γαστρὶ ἐχούσης, καὶ ἀσπαζομένης· τὸ ἐν τῇ κοιλίᾳ τῆς Ἐλισάβετ βρέφος ἐσκίρτησε· Λουκ. ά. 39. . . . 41. — 4. Προέδραμεν.) Ὁ γὰρ Ἡρώδης ἔχων Ἡρωδιάδα γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἐλεγχόμενος διὰ τοῦτο ὑπὸ Ἰωάννου, δήσας αὐτὸν, ἐν εἱρκτῇ ἔθετο. Καὶ γενεθλίων τελουμένων αὐτῷ αἰτησάσης τῆς θυγατρὸς τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ, ἀπέτεμε τὴν κεφαλὴν αὐτοῦ· Ματθ. ιδ'. 3. . ., 12. — 5. Κἀκεῖ.) Εἰς τὸν ᾅδην περὶ τοῦ Χριστοῦ· ὅτι ἐλεύσεται σῶσαι τοὺς ἐκεῖ πιστεύσαντας εἰς αὐτόν. — 6. Ὅτι μὴ προτιθείς.) Ὅτι οὐκ ἀνώτερον λέγων τὸν μέγ. Βασίλ. μήτε ἴσον καὶ ὅμοιον τῷ Προδρόμῳ Ἰωάννῃ, τῷ κατὰ τὸν λόγον τοῦ Δεσπότου μείζονι ἐν γεννητοῖς γυναικῶν· Ματθ. ιά. 11. ποιῶ τὴν σύγκρισιν ταύτην. — 7. Τοῖς σπουδαίοις.) Τοῖς ἀρετὴν δηλ. ἀσκοῦσι. — 8. Καὶ μικρά.) Καὶ κατὰ μικρὰ πράγματα· ἡ μίμησις τῶν μεγίστων οὐκ ἔστι μικρὸν τοῖς σπουδαίοις. — 9 Ἢ γάρ.) Ἀποφηματικῶς· οἷον. Ἄρα γ' οὐκ ἔστιν ὁ ἀνὴρ μέγ. Βασίλ. ἐναργὴς εἰκὼν τῆς φιλοσοφίας καὶ ἀρετῆς τοῦ Προδρόμου. — 10. Οὐχ

Ε.Υ.Α. ΠΣΚ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἡ ὑπερόριος. Καὶ οὗτος μέσος τῶν δύο διαθηκῶν, τῆς μὲν καλύων τὸ γράμμα, τῆς δὲ δημοσιεύων τὸ Πνεῦμα, καὶ ποιῶν πλήρωσιν τοῦ κρυπτομένου νόμου τὴν τοῦ φαινομένου κατάλυσιν.

§ 82. Ἐμιμήσατο τοῦ Πέτρου τὸν ζῆλον,[2] Παύλου τὸν τόνον,[3] τῶν ὀνομαστῶν καὶ μετωνομασμένων[4] ἀμφοτέρων τὴν πίστιν· τῶν υἱῶν Ζεβεδαίου τὸ μεγαλόφρονον,[5] πάντων τῶν μαθητῶν τὸ εὐτελὲς καὶ ἀπέριττον. Διὰ ταῦτά τοι καὶ κλεῖς οὐρανῶν[6] πιστεύεται, καὶ οὐχ ὅσον ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ·[7] μείζονα δὲ κύκλον τῷ Εὐαγγελίῳ περιλαμβάνει, καὶ υἱὸς βροντῆς[8] οὐκ ὀνομάζεται μὲν, γίνεται δὲ· καὶ ἐπὶ τοῦ στήθους Ἰησοῦ[9] κείμενος, ἐκεῖθεν ἕλκει τοῦ λόγου τὴν δύναμιν, καὶ τὸ βάθος τῶν νοημάτων. Στέφανος[10] μὲν γὰρ ἐκωλύθη γενέσθαι, εἰ καὶ πρόθυμος ἦν, ἐπισχὼν αἰδοῖ τοὺς λιθάζοντας. Ἔτι δὲ συντομώτερον εἰπεῖν ἔχω ἵνα μὴ τοῖς καθ' ἕκαστον ἐπεξίω περὶ τούτων. Ἐκείνος γὰρ τὸ μὲν ἐξεῦρε τῶν καλῶν· τὸ δὲ ἐζήλωσε, τὸ δὲ ἐνίκησε.[11] Τῷ δὲ διὰ πάντων[12] ἐλθεῖν τῶν νῦν πάντων ἐκράτησεν. Εν ἐπὶ πᾶσιν ἐρῶ καὶ σύντομον.

§ 83. Τοσαύτη τοῦ ἀνδρὸς ἡ ἀρετὴ, καὶ ἡ τῆς δόξης περιουσία, ὥστε πολλὰ καὶ τῶν ἐκείνου μικρῶν, ἤδη δὲ καὶ τῶν σωματικῶν ἐλαττωμάτων, ἑτέροις εἰς εὐδοξίαν ἐπενοήθη. Οἷον, ὠχρότητα λέγω, καὶ γενειάδα, καὶ βαδίσματος ἦθος, καὶ τὸ περὶ λόγον μὴ πρόχειρον· σύννουν τε ὡς τὰ πολλὰ, καὶ εἴσω συννενευκὸς, ὃ τοῖς πολλοῖς μὴ καλῶς ζηλωθὲν, μηδὲ νοηθὲν σκυθρωπότης ἐγένετο. Ἔτι δὲ εἶδος ἐσθῆτος, καὶ σκίμποδος σχῆμα, καὶ τρόπος βρώσεως, ὧν οὐδὲν ἐκείνῳ διὰ σπουδῆς ἦν, ἀλλ' ἁπλῶς ἔχον, καὶ συμπίπτον ὡς ἔτυχε. Καὶ πολλοὺς ἂν ἴδοις Βασιλείους[2] ἄχρι τοῦ ἐρω-

---

ἡ περίχωρος.) Ὥσπερ πρὸς Ἰωάννην· Ματθ. γ'. 4....6.

§ 82. 2. Τοῦ Πέτρου τὸν ζῆλον.) Ἔλεγε γὰρ πρὸς τὸν Ἰησοῦν ὅτι τὴν ψυχὴν αὐτοῦ θήσει ὑπὲρ αὐτοῦ Ἰωάν. ιγ'. 37. — 3. Παύλου τὸν τόνον) Ἀπὸ γὰρ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπλήρωκε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ· Ῥωμ. ιε'. 19. — 4. Μετωνομασμένων.) Ὁ μὲν γὰρ Πέτρος ἐκαλεῖτο Σίμων· Μάρκ. γ'. 16. ὁ δὲ Παῦλος ἐλέγετο Σαῦλος· Πράξ. Ἀποστόλων ιγ'. 9. — 5. Τὸ μεγαλόφρονον.) Ἡ γὰρ μήτηρ τῶν υἱῶν Ζεβεδαίου ἐλθοῦσα πρὸς τὸν Κύριον ᾔτει, ἵνα ἐν τῇ βασιλείᾳ αὐτοῦ καθίσωσιν τῶν δύο αὐτῆς υἱῶν ὁ μὲν ἐκ δεξιῶν αὐτοῦ, ὁ δὲ ἐξ ἀριστερῶν· Ματθ. κ'. 22. — 6. Κλεῖς οὐρανῶν) Ὡς ὁ Πέτρος· πρὸς ὃν ὁ Κύριος εἶπε »Σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ »οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ »πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ »δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν »οὐρανῶν.« Ματθ. ιϛ'. 18. — 7. Μέχρι τοῦ Ἰλλυρικοῦ.) Παύλ. Ῥωμ. ιε'. 19. — 8. Υἱὸς βροντῆς.) Τοῦτο τὸ ὄνομα δίδοται Ἰωάννῃ τῷ Εὐαγγελιστῇ.... — 9. Στήθους τοῦ Ἰησοῦ) Ἐν γὰρ τῷ δείπνῳ τῷ μυστικῷ ὁ Ἰωάννης ἔπεσεν ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, καὶ ἠρώτα αὐτὸν περὶ τοῦ παραδιδόντος Ἰωάν. ιγ'. 25. — 10. Στέφανος) Μαρτυροῦσαι δηλ. καθάπερ ἐκεῖνος λιθοβοληθείς· Πράξ. Ἀποστ. ϛ'. 8... ζ'. — 11. Ἐνίκησε.) Ἀνώτερος δηλ. γενόμενος — 12. Τῷ δὲ διὰ πάντων.) Πάσας δηλ. τὰς ἀρετὰς κατορθώσας, ἀνώτερος πάντων τῶν νῦν ἐγένετο.

§ 83. 2. Βασιλείους.) Ὁμοίους τῷ Βασιλείῳ κατὰ τὸ φαινόμενον καὶ τὸ ἐπι-

μένου τοὺς ἐν ταῖς σκιαῖς[2] ἀνδριάντας· πολὺ γὰρ εἰπεῖν, ὅτι καὶ τὸ τῆς ἠχοῦς[3] ὑστερόφωνον. Ἐκείνη μὲν γὰρ εἰ καὶ τὰ τελευταῖα τῆς φωνῆς, ἀλλ' οὖν ἐναργέστερον ὑποκρίνεται· οἱ δὲ,[4] πλεῖον ἀπέχουσι τοῦ ἀνδρὸς, ἢ ὅσον πλησιάζειν ἐπιθυμοῦσιν. Ἐκεῖνο δ'[5] οὐκ ἔτι μικρὸν, ἀλλὰ καὶ μέγα εἰς φιλοτιμίαν εἰκότως, καὶ τυχεῖν[6] ἐκείνῳ ποτὲ πλησιάσαντας, ἢ θεραπεύσαντας, ἤ τι κατὰ παιδιὰν ἢ σπουδὴν εἰρημένον, ἢ πεπραγμένον, φέρειν[7] ἀπομνημόνευμα· ὥσπερ οὖν κἀγὼ πολλάκις οἶδα καλλωπισάμενος.[8] Ἐπεὶ καὶ τὰ πάρεργα τοῦ ἀνδρὸς τῶν πονουμένων· ἑτέροις πολὺ τιμιώτερα, καὶ περιφανέστερα.

§ 84. Ἐπεὶ δὲ τὸν δρόμον[2] τελέσας, καὶ τὴν πίστιν τηρήσας, ἐπόθει τὴν ἀνάλυσιν, καὶ ὁ τῶν στεφάνων ἐνεστήκει καιρὸς, κἀκεῖνο μὲν οὐκ ἤκουσεν, εἰς τὸ ὄρος ἀνάβηθι[3] καὶ τελεύτα· τελεύτα δὲ,[4] καὶ ἀνάβαινε πρὸς ἡμᾶς· θαυματουργεῖ τι κἀνταῦθα τῶν προειρημένων οὐκ ἔλαττον. Νεκρὸς γὰρ ὢν ἤδη σχεδὸν, καὶ ἄπνους καὶ τὸ τοῦ βίου πλεῖστον καταλελοιπὼς, εὐτονώτερος γίνεται περὶ τοὺς ἐξιτηρίους[5] τῶν λόγων, ἵνα τοῖς τῆς εὐσεβείας συναπέλθῃ ῥήμασι, καὶ χειροτονίαις[6] τῶν γνησιωτάτων αὐτοῦ θεραπευτῶν, τὴν χεῖρα δίδωσι καὶ τὸ πνεῦμα· ὥστε μὴ ζημιωθῆναι τὸ βῆμα τοὺς ἐκείνου μαθητὰς, καὶ τῆς ἱερωσύνης συλλήπτορας. Τοῖς δὲ ἑξῆς ὀκνεῖ μὲν προσελθεῖν ὁ λόγος, προσθήσεται δὲ ὅμως· εἰ καὶ ἄλλοις μᾶλλον ἡμῶν πρέπων ὁ λόγος, οὐ γὰρ ἔχω φιλοσοφεῖν ἐν τῷ πάθει, καὶ εἰ σφόδρα φιλοσοφεῖν ἐσπούδακα, τῆς κοινῆς μεμνημένος ζημίας, καὶ τοῦ κατασχόντος πάθους τὴν οἰκουμένην.

§ 85. Ἔκειτο μὲν ὁ ἀνὴρ τὰ τελευταῖα πνέων, καὶ παρὰ τῆς ἄνω χοροστασίας ἐπιζητούμενος, πρὸς ἣν ἐκ πλείονος ἔβλεπεν. Ἐγκεῖτο δὲ περὶ αὐτὸν πᾶσα ἡ πόλις, τὴν ζημίαν οὐ φέροντες,[2] καὶ τῆς ἐκδημίας ὡς τυραννίδος καταβοῶντες, καὶ τῆς ψυχῆς λαμβανόμενοι ὡς καθεκτῆς καὶ βιασθῆναι δυναμένης, ἢ χερσὶν ἢ δεήσεσιν.

---

πολῆς οὗτοῦ ἰδίωμα. — 2. Τοὺς ἐν ταῖς σκιαῖς.) Κατὰ τοὺς ἐν ταῖς σκιαῖς. — 3. Καὶ τὸ τῆς ἠχοῦς.) Καὶ κατὰ τὸ τῆς ἠχοῦς. — 4. Οἱ δέ.) Οἱ δὲ μιμεῖσθαι θέλοντες τὸν μέγ. Βασίλειον. — 5. Ἐκεῖνο δέ.) Τὸ ἑξῆς δηλ. ἐν γὰρ προαναφωνήσει χρώμεθα τῇ δεικτικῇ. — 6. Καὶ τυχεῖν.) Καὶ τὸ τυχεῖν δηλ. ἐπεξηγηματικῶς. — 7. Ἤ τι κατὰ παιδιὰν ἢ σπουδὴν εἰρημένον, ἢ πεπραγμένον, φέρειν.) Ἢ τὸ φέρειν τι ἀπομνημόνευμα πεπραγμένον ἐκείνῳ, ἢ εἰρημένον κατὰ παιδιὰν, ἢ κατὰ σπουδήν. — 8. Καλλωπισάμενος.) Ἐμαυτὸν δηλ.

§ 84. 2. Τὸν δρόμον.) Ὡς Παῦλος λέγει. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος· πρὸς Τιμόθ. Β'. δ'. 7. — 3. Εἰς τὸ ὄρος ἀνάβηθι.) Καθάπερ Μωϋσῆς, ᾧ εἶπεν ὁ Θεὸς ἀναβῆναι εἰς τὸ ὄρος Ἀβαρὶμ, καὶ ἰδόντα τὴν γῆν Χαναὰν, τελευτῆσαι ἐκεῖ· Δεύτερον· λβ'. 49, 50. — 4. Τελεύτα δέ.) Ἀλλ' εἶπεν αὐτῷ, τελεύτα, καὶ τλ. — 5. Ἐξιτηρίους.) Οὕτω καλοῦνται οἱ λόγοι, οὓς ποιοῦσιν οἱ ἀποδημοῦντες. — 6. Καὶ χειροτονίαις.) Καὶ δίδωσι καὶ τὴν χεῖρα καὶ τὸ πνεῦμα ταῖς χειροτονίαις τῶν γνησιωτάτων.

§ 85. 2. Οὐ φέροντες.) Πρὸς τὸ σημαι-

Ἐποίει γὰρ αὐτοὺς καὶ παράφρονας τὸ πάθος, καὶ προσθῆναί τι τῆς ἑαυτῶν ζωῆς ἕκαστος ἐκείνῳ, εἴπερ οἷόν τε ἦν, πρόθυμος ἦν. Ὡς δὲ ἡττήθησαν, ἔδει γὰρ αὐτὸν ἐλεγχθῆναι ἄνθρωπον ὄντα, καὶ Εἰς χεῖράς σου[3] παραθήσομαι τὸ πνεῦμά μου, τελευταῖον εἰπὼν, τοῖς ἀπάγουσιν αὐτὸν ἀγγέλοις, οὐκ ἀηδῶς ἀπέψυξεν, ἔστιν ἃ τοὺς παρόντας μυσταγωγήσας, καὶ βελτίους ποιήσας τοῖς ἐπισκήψεσι.

§ 86. Τότε δὴ θαῦμα γίνεται τῶν πώποτε γενομένων ὀνομαστότατον. Προεκομίζετο μὲν ὁ ἅγιος χερσὶν ἁγίων ὑψούμενος, σπουδὴ δ' ἦν ἑκάστῳ, τῷ μὲν κρασπέδου[2] λαβέσθαι, τῷ δὲ σκιᾶς,[3] τῷ δὲ τοῦ ἱεροφόρου σκίμποδος, καὶ ψαῦσαι μόνον· τί γὰρ ἐκείνου τοῦ σώματος ἱερώτερόν τε καὶ καθαρώτερον; τῷ δὲ τῶν ἀπαγόντων ἐλθεῖν πλησίον, τῷ δὲ τῆς θέας ἀπολαῦσαι μόνης, ὥς τι κἀκείνης πεμπούσης ὄφελος. Πλήρεις ἀγοραὶ, στοαὶ, διώροφοι, τριώροφοι, τῶν ἐκεῖνον παραπεμπόντων, προηγουμένων, ἑπομένων, παρεπομένων, ἀλλήλοις ἐπεμβαινόντων.[4] Μυριάδες, γένους παντὸς, καὶ ἡλικίας ἁπάσης, οὐ πρότερον γινωσκόμεναι· ψαλμῳδίαι θρήνοις ὑπερνικώμεναι· καὶ τὸ φιλόσοφον[5] τῷ πάθει καταλυόμενον. Ἀγὼν δὲ[6] τοῖς ἡμετέροις πρὸς τοὺς ἐκτὸς Ἕλληνας, Ἰουδαίους, ἐπήλυδας, ἐκείνοις πρὸς ἡμᾶς, ὅς τις πλέον ἀπολαυσάμενος, πλείονος μετάσχῃ τῆς ὠφελείας. Πέρας τοῦ λόγου,[7] καὶ εἰς κίνδυνον τελευτᾷ τὸ πάθος, συναπελθουσῶν αὐτῷ ψυχῶν οὐκ ὀλίγων ἐκ τοῦ ὠθισμοῦ, βίας, καὶ συγκλονήσεως. Αἳ καὶ τοῦ τέλους[8] ἐμακαρίσθησαν, ὡς ἐκείνῳ συνέκδημοι, καὶ θύματα[9] ἐπιτάφια, τάχα ἄν τις εἴποι τῶν θερμοτέρων. Μόλις δὲ τὸ σῶμα διαφυγὸν τοὺς ἁρπάζοντας, καὶ νικῆσαν τοὺς προπομπεύοντας, οὕτω τῷ τάφῳ τῶν πατέρων δέδοται καὶ προστίθεται τοῖς ἱερεῦσιν[10] ὁ ἀρχιερεὺς, τοῖς κήρυξιν ἡ μεγάλη φωνὴ, καὶ τοῖς ἐμοῖς ὠσὶν ἔνηχος, ὁ μάρτυς τοῖς μάρτυσι.

§ 87. Καὶ νῦν ὁ μὲν[2] ἐστιν ἐν οὐρανοῖς, κἀκεῖ τὰς ὑπὲρ ἡμῶν, ὡς οἶμαι, προσφέρων θυσίας, καὶ τοῦ λαοῦ προευχόμενος· οὐδὲ γὰρ ἀπολιπὼν ἡμᾶς, παντάπασιν ἀπολέλοιπεν. Ἡμιθνὴς[3] δὲ Γρη-

---

νόμενον ἡ συμφωνία. — 3. Εἰς χεῖράς σου.) Τὸ τοῦ Δαβίδ. Ψαλ. λ΄. 5.

§ 86. 2. Τῷ μὲν κρασπέδου.) Ὡς ἡ αἱμοῤῥοοῦσα ἥψατο τοῦ κρασπέδου τοῦ Ἰησοῦ· Λουκ. η΄. 44. — 3. Τῷ δὲ σκιᾶς.) Ὡς οἱ κατὰ τὰς πλατείας ἀσθενεῖς ἐν Ἱερουσαλὴμ, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Πράξ. Ἀποστ. ε΄. 15. — 4. Ἀλλήλοις ἐπεμβαινόντων.) Ὁ εἷς ἐπάτει τὸν ἕτερον. — 5. Καὶ τὸ φιλόσοφον.) Καὶ τὸ καρτερικὸν τῶν ψαλλόντων ἐνικᾶτο ὑπὸ τῆς λύπης. — 6. Ἀγὼν δέ.) Ἦν δηλ. — 7. Πέρας τοῦ λόγου.) Ἵνα μὴ πολυλογῶ δηλ. — 8. Αἳ καὶ τοῦ τέλους.) Αἱ ψυχαί. — 9. Καὶ θύματα.) Καὶ εἴποι ἄν τις τῶν θερμοτέρων τὰς ψυχὰς ταύτας θύματα ἐπιτάφια τοῦ μεγ. Βασιλείου. — 10. Τοῖς ἱερεῦσιν.) Γονεῦσι δηλ. αὐτοῦ.

§ 87. 2. Ὁ μέν.) Μέγ. Βασίλειος. — 3. Ἡμιθνής.) Ἐγὼ δηλ. ὁ Γρηγ. εἰμὶ

Ε.γ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γόριος, καὶ ἡμίτομος, τῆς μεγάλης ἀπεῤῥωγὼς συζυγίας, καὶ βίον ἕλκων ὀδυνηρὸν, καὶ οὐκ εὔδρομον, οἷον εἰκὸς τὸν ἐκείνου κεχωρισμένον. Οὐκ οἶδα[4] εἰς ὃ τελευτήσω μετὰ τὴν ἐκείνου παιδαγωγίαν· ᾧ καὶ νῦν ἔτι νουθετοῦμαι, καὶ σωφρονίζομαι διὰ νυκτερινῶν ὄψεων, εἴποτε τοῦ δέοντος ἔξω πέσοιμι. Καὶ οὐκ ἐγὼ μὲν οὕτω θρήνους ἀναμίγνυμι τοῖς ἐπαίνοις, καὶ λογογραφῶ τὴν τοῦ ἀνδρὸς πολιτείαν, καὶ προστίθημι τῷ χρόνῳ κοινὸν ἀρετῆς πίνακα, καὶ πρόγραμμα σωτήριον, πάσαις ταῖς Ἐκκλησίαις, ψυχαῖς ἁπάσαις, πρὸς ὃν βλέποντες ἀπευθυνοῦμεν τὸν βίον ὡς νόμον ἔμψυχον· ὑμῖν δὲ συμβουλεύσαιμ' ἂν ἄλλο τι τοῖς τὰ ἐκείνου τετελεσμένοις, ἢ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ ὡς ὁρῶντος καὶ ὁρωμένου, τῷ πνεύματι καταρτίζεσθαι.

§ 88. Δεῦρο δή περιστάντες με πᾶς ὁ ἐκείνου[2] χορὸς, ὅσοι τοῦ βήματος, καὶ ὅσοι τῶν κάτω, ὅσοι τῶν ἡμετέρων, καὶ ὅσοι τῶν ἔξωθεν τὴν εὐφημίαν μοι συνεργάζεσθαι· ἄλλος ἄλλο τι τῶν ἐκείνου καλῶν διηγούμενοι. Καὶ ζητοῦντες οἱ τῶν θρόνων,[3] τὸν νομοθέτην· οἱ τῆς πολιτείας, τὸν πολιστήν· οἱ τοῦ δήμου, τὴν εὐταξίαν· οἱ περὶ λόγους, τὸν παιδευτήν· αἱ παρθένοι, τὸν νυμφαγωγόν· αἱ ὑπὸ ζυγὸν, τὸν σωφρονιστήν· οἱ τῆς ἐρημίας, τὸν πτερωτήν· οἱ τῆς ἐπιμιξίας, τὸν δικαστήν· οἱ τῆς ἁπλότητος, τὸν ὁδηγόν· οἱ τῆς θεωρίας, τὸν θεολόγον· οἱ ἐν εὐθυμίᾳ, τὸν χαλινόν· οἱ ἐν συμφοραῖς, τὴν παράκλησιν· τὴν βακτηρίαν, ἡ πολιά· τὴν παιδαγωγίαν, ἡ νεότης· ἡ πενία, τὸν ποριστήν· ἡ εὐπορία, τὸν οἰκονόμον. Δοκοῦσί μοι καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι, καὶ ὀρφανοὶ τὸν πατέρα· καὶ πτωχοὶ τὸν φιλόπτωχον· καὶ τὸν φιλόξενον οἱ ξένοι· καὶ ἀδελφοὶ τὸν φιλάδελφον, οἱ νοσοῦντες τὸν ἰατρόν· ἣν βούλει νόσον καὶ ἰατρείαν· οἱ ὑγιαίνοντες, τὸν φύλακα τῆς ὑγιείας· οἱ πάντες τὸν πάντα πᾶσι γενόμενον· ἵνα κερδαίνῃ[4] τοὺς πάντας ἢ πλείονας.

§ 89. Ταῦτά σοι παρ' ἡμῶν, ὦ Βασίλειε, τῆς ἡδίστης σοί ποτε γλώττης καὶ ὁμοτίμου καὶ ἥλικος. Εἰ μὲν τῆς ἀξίας ἐγγὺς, σοὶ τοῦτο χάρις· σοὶ γὰρ θαῤῥῶν τὸν περὶ σοῦ λόγον ἐνεστησάμην· εἰ δὲ πόῤῥω καὶ παρὰ πολὺ τῆς ἐλπίδος, τί χρὴ παθεῖν; καὶ γήρᾳ, καὶ νόσῳ, καὶ τῷ σῷ πόθῳ τετρυχωμένος·[2] πλὴν καὶ Θεῷ

---

ἡμιθνής. — 4. Οὐκ οἶδα.) Ἀγνοῶ δηλαδὴ ποῖον μου ἔσται τὸ τέλος ἐστερημένου τοῦ παιδαγωγοῦντός με μεγ. Βασιλείου.

§ 88. 2. Πᾶς ὁ ἐκείνου.) Ὅσοι δηλ. συνήχθητε σήμερον εἰς τὴν μνήμην τοῦ μεγ. Βασιλ. Ἱερεῖς, λαϊκοί, Χριστιανοί, ἐθνικοί. — 3. Οἱ τῶν θρόνων.) Οἱ ἀρχιερεῖς δηλ. Ἐννοεῖται δὲ, Ἐπαινεῖται ὡς ἐκ τοῦ ἑξῆς, 3. — 4. Ἵνα κερδαίνῃ.) Ἡ φησὶν ὁ ἀπόστολος Παῦλος· ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, ἵνα τοὺς πάντας κερδήσω· Πρὸς Κορινθ. θ'. 22.

§ 89. 2. Τετρυχωμένος.) Κατ' ὀνομαστικὴν διὰ τὴν ταυτοπροσωπίαν τοῦ

φίλον τὸ κατὰ δύναμιν. Σὺ δὲ ἡμᾶς ἐποπτεύεις ἄνωθεν, ὦ θεία καὶ ἱερὰ κεφαλή! καὶ τὸν δεδομένον ἡμῖν παρὰ Θεοῦ σκόλοπα[3] τῆς σαρκὸς τὴν ἡμετέραν παιδαγωγίαν, ἢ στήσαις ταῖς σεαυτοῦ πρεσβείαις, ἢ πείσαις καρτερῶς φέρειν, καὶ τὸν πάντα βίον ἡμῖν διεξάγοις[4] πρὸς τὸ λυσιτελέστατον. Εἰ δὲ μετασταίημεν, δέξαιο κἀκεῖθεν ἡμᾶς ταῖς σεαυτοῦ σκηναῖς, ὡς ἂν ἀλλήλοις συζῶντες, καὶ συνεποπτεύοντες τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, καθαρώτερόν τε καὶ τελεώτερον, ἧς νῦν μετρίως δεδέγμεθα τὰς ἐμφάσεις. Ἐνταῦθα σταίημεν[5] τῆς ἐφέσεως, καὶ ταύτην λάβοιμεν, ὧν πεπολεμήκαμεν καὶ πεπολεμήμεθα τὴν ἀντίδοσιν.

§ 90. Σοὶ μὲν οὖν οὗτος παρ᾽ ἡμῶν[2] ὁ λόγος· ἡμᾶς δὲ τίς ἐπαινέσεται τὸν βίον μετὰ σὲ ἀπολείποντας; εἰ καί τι παράσχοιμεν ἐπαίνου τοῖς λόγοις ἄξιον, ἐν Χριστῷ[3] Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν; ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

---

## ΕΚ ΤΩΝ

# ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ.

## ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΣ.

### Ὑπόθεσις.

Ἀποκηρυχθείς τις, ἰατρικὴν ἐξέμαθε· μανέντα τὸν πατέρα, καὶ ὑπὸ τῶν ἄλλων ἰατρῶν ἀπεγνωσμένον, ἰασάμενος φαρμάκου δόσει, ἀνελήφθη αὖθις εἰς τὸ γένος. Μετὰ ταῦτα μεμηνυῖαν τὴν μητρυιὰν ἰάσασθαι κελευόμενος, ἀπειθῶν διὰ τὸ ἀδυνατεῖν ἰάσασθαι τὸ πάθος, πάλιν ἀποκηρύττεται.

§ 1. Οὐ καινὰ μὲν ταῦτα, ὦ ἄνδρες δικασταί, οὐδὲ παράδοξα, ὑπὸ τοῦ πατρὸς ἐν τῷ παρόντι γιγνόμενα·[2] οὐδὲ νῦν πρῶτον τὰ τοιαῦτα ὀργίζεται, ἀλλὰ πρόχειρος οὗτος ὁ νόμος αὐτῷ, καὶ συνήθως ἐπὶ τοῦτο ἀφικνεῖται τὸ δικαστήριον.[3] Ἐκεῖνο δὲ[4] καινότερον νῦν δυστυχῶ, ὅτι ἔγκλημα μὲν ἴδιον οὐκ ἔχω, κινδυνεύω δὲ τιμω-

---

ἐνεστησάμην. — 3. Σκόλοπα.) Τὴν νόσον λέγει. — 4. Διεξάγοις.) Διευθύνοις δηλ. — 5. Ἐνταῦθα σταίημεν.) Ἐν ταῖς σεαυτοῦ σκηναῖς καταπαύσαιμεν, ἣν εἴχομεν ἔφεσιν, ἀπολαῦσαι τὸ ἄκρον ἐφετόν, καὶ ἀντιλάβοιμεν τὴν ἀντίδοσιν ταύτην, περὶ ὧν κατὰ τῶν αἱρετικῶν πεπολεμήκαμεν, καὶ ὑπέστημεν ὑπ᾽ αὐτῶν.

§ 90. 2. Οὗτος παρ᾽ ἡμῶν.) Προσηνέχθη δηλ. — 3. Ἐν Χριστῷ.) Ἐνδυναμούμενος δηλ. τῇ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

§ 1, 2. Γιγνόμενα.) Ἐννοεῖται ἐστίν. Γν. ἤ οὐ νέα, οὐδὲ ξένα γίνονται ταῦτα, ἃ ὁρᾶτε, ὑπὸ τοῦ Πατρός. — 3. Ἐπὶ τοῦτο .... τὸ δικαστήριον.) Καθ᾽ ὃ ἀποκηρύττειν βούλεται ἐμέ. — 4. Ἐκεῖνο δέ.) Ἐκεῖνο δέ, ὃ νῦν δυστυχῶ, ἐστὶ καινότερον



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006